7 Συμεων καὶ Νεφθαλι καὶ τοῖς τόποις αὐτῶν κύκλῳ [7]καὶ κατέσπα-
σεν τὰ ἄλση καὶ τὰ θυσιαστήρια καὶ τὰ εἴδωλα κατέκοψεν λεπτὰ
καὶ πάντα τὰ ὑψηλὰ ἔκοψεν ἀπὸ πάσης τῆς γῆς Ισραηλ καὶ ἀπ-
έστρεψεν εἰς Ιερουσαλημ.
8 [8]Καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τοῦ καθα-
ρίσαι τὴν γῆν καὶ τὸν οἶκον ἀπέστειλεν τὸν Σαφαν υἱὸν Εσελια
καὶ τὸν Μαασιαν ἄρχοντα τῆς πόλεως καὶ τὸν Ιουαχ υἱὸν Ιωαχαζ
τὸν ὑπομνηματογράφον αὐτοῦ κραταιῶσαι τὸν οἶκον κυρίου τοῦ
9 θεοῦ αὐτοῦ. [9]καὶ ἦλθον πρὸς Χελκιαν τὸν ἱερέα τὸν μέγαν καὶ
ἔδωκαν τὸ ἀργύριον τὸ εἰσενεχθὲν εἰς οἶκον θεοῦ, ὃ συνήγαγον
οἱ Λευῖται φυλάσσοντες τὴν πύλην ἐκ χειρὸς Μανασση καὶ Εφραιμ
καὶ τῶν ἀρχόντων καὶ ἀπὸ παντὸς καταλοίπου ἐν Ισραηλ καὶ υἱῶν
10 Ιουδα καὶ Βενιαμιν καὶ οἰκούντων ἐν Ιερουσαλημ, [10]καὶ ἔδωκαν
αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα οἱ καθεσταμένοι ἐν οἴκῳ κυρίου
καὶ ἔδωκαν αὐτὸ ποιοῦσι τὰ ἔργα, οἳ ἐποίουν ἐν οἴκῳ κυρίου, ἐπι-
11 σκευάσαι κατισχῦσαι τὸν οἶκον· [11]καὶ ἔδωκαν τοῖς τέκτοσι καὶ
τοῖς οἰκοδόμοις ἀγοράσαι λίθους τετραπέδους καὶ ξύλα εἰς δοκοὺς
12 στεγάσαι τοὺς οἴκους, οὓς ἐξωλέθρευσαν βασιλεῖς Ιουδα· [12]καὶ οἱ
ἄνδρες ἐν πίστει ἐπὶ τῶν ἔργων, καὶ ἐπ᾽ αὐτῶν ἐπίσκοποι Ιεθ καὶ
Αβδιας οἱ Λευῖται ἐξ υἱῶν Μεραρι καὶ Ζαχαριας καὶ Μοσολλαμ ἐκ
τῶν υἱῶν Κααθ ἐπισκοπεῖν καὶ πᾶς Λευίτης πᾶς συνίων ἐν ὀργά-
13 νοις ᾠδῶν [13]καὶ ἐπὶ τῶν νωτοφόρων καὶ ἐπὶ πάντων τῶν ποι-
ούντων τὰ ἔργα ἐργασίᾳ καὶ ἐργασίᾳ, καὶ ἀπὸ τῶν Λευιτῶν γραμ-
14 ματεῖς καὶ κριταὶ καὶ πυλωροί. [14]καὶ ἐν τῷ ἐκφέρειν αὐτοὺς τὸ
ἀργύριον τὸ εἰσοδιασθὲν εἰς οἶκον κυρίου εὗρεν Χελκιας ὁ ἱερεὺς
15 βιβλίον νόμου κυρίου διὰ χειρὸς Μωυσῆ. [15]καὶ ἀπεκρίθη Χελκιας
καὶ εἶπεν πρὸς Σαφαν τὸν γραμματέα Βιβλίον νόμου εὗρον ἐν οἴ-
16 κῳ κυρίου· καὶ ἔδωκεν Χελκιας τὸ βιβλίον τῷ Σαφαν. [16]καὶ εἰσ-
ήνεγκεν Σαφαν τὸ βιβλίον πρὸς τὸν βασιλέα καὶ ἀπέδωκεν ἔτι τῷ
βασιλεῖ λόγον Πᾶν τὸ δοθὲν ἀργύριον ἐν χειρὶ τῶν παίδων σου
17 τῶν ποιούντων τὸ ἔργον, [17]καὶ ἐχώνευσαν τὸ ἀργύριον τὸ εὑρε-
θὲν ἐν οἴκῳ κυρίου καὶ ἔδωκαν ἐπὶ χεῖρα τῶν ἐπισκόπων καὶ ἐπὶ
18 χεῖρα τῶν ποιούντων ἐργασίαν. [18]καὶ ἀπήγγειλεν Σαφαν ὁ γραμ-

**6** νεφθαλειμ A || **7** εκοψεν B(†)] pr. κατ A | πασης > A || **8** του καθαρισαι B†] pr. οτε συνετελεσεν A, pr. εκελευσε *L*(†) | οικον 1°] + της βασιλειας A† | απεστειλεν > B† | τον 2° > BV† | εσελια compl.] σελ. BA | μαασιαν] -σα B† | πολεως] δυναμεως A | ιουαχ B†] ιωας rel. | ιωαχαζ] ιωαχ B† || **9** εδωκεν A | θεου B†] κυριου rel.: cf. 33 7 | ισρ. και υιων ιουδα] ιερουσαλημ και υιων ιουδα και ισραηλ A† || **10** καθεσταμενοι pl.] κατεστ. B†, καθιστ. A || **11** αγορασαι] pr. και B*A | τετραποδους A || **12** εν 1° > A | ιεθ] ιε B†, ιαεθ *L*† | αβδιας] ς > B | πας λευ. πας B†] πας λευ. A, πας λευ. και πας *L* || **14** το 1° > A† || **15** σαφαν ult.] ασαφ A† || **16** ετι] επι A† | το εργον > B† || **17** εδωκεν B† | και επι χειρα > B†